UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XV. De Heracla.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

μονονουχὶ ἀντιβολοῦντος, ἀόκνως τὴν εἰς τοὺς ἀδελφοὺς ὠφέλειαν ποιεῖσθαι.

A lum hortante, ac tantum non supplicante ut fratrum utilitati impigrè serviret.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Περὶ τοῦ Ἡρακλᾶ.

Ὁ δ᾽ ὡς ἑαυτὸν ἑώρα μὴ ἐπαρκοῦντα τῇ τῶν θείων βαθυτέρᾳ σχολῇ, τῇ τε ἐξετάσει καὶ ἑρμηνείᾳ τῶν ἱερῶν γραμμάτων, καὶ προσέτι τῇ τῶν προσιόντων κατηχήσει, μηδ᾽ ἀναπνεῦσαι συγχωρούντων αὐτῷ, ἑτέρων ἐφ᾽ ἑτέροις ἐξ ἕω καὶ μέχρις ἑσπέρας ἐπὶ τὸ παρ᾽ αὐτῷ διδασκαλεῖον φοιτώντων, διανείμας τὰ πλήθη, τὸν Ἡρακλᾶν τῶν γνωρίμων προκρίνας, ἔν τε τοῖς θείοις σπουδαῖον, καὶ ἄλλως ὄντα λογιώτατον ἄνδρα καὶ φιλοσοφίας οὐκ ἄμοιρον, κοινωνὸν καθίστη τῆς κατηχήσεως· τῷ μὲν τὴν πρώτην τῶν ἄρτι στοιχειουμένων εἰσαγωγὴν ἐπιτρέψας· αὐτῷ δὲ τὴν τῶν ἐν ἕξει φυλάξας ἀκρόασιν.

## Caput XV.

*De Heracla.*

Cum autem animadverteret se nequaquam sufficere ad quietiorem rerum divinarum contemplationem, & ad sacræ Scripturæ scrutationem atque interpretationem, simulque ad institutionem eorum qui ad ipsum accedebant, per quos ne respirare quidem ipsi licebat, cùm alii super alios à primo lu- (Hucrefer Niceph. c. 11. l. 5.)
B cis exortu usque ad vesperam scholam ejus frequentarent: divisa omni auditorum multitudine, Heraclam ex familiaribus suis deligens, virum rerum divinarum studiosum, & alioqui doctissimum, nec expertem Philosophiæ, in docendi officio socium sibi atque administrum adjunxit. Et huic quidem institutionem eorum qui primis adhuc imbuerentur rudimentis mandavit: sibi verò perfectiores docendos reservavit.

## ΚΕΦΑΛΑΙΟΝ Ις΄.

Ὅπως Ὠριγένει περὶ τὰς θείας ἐσπουδάκει γραφάς.

Τοσαύτη δὲ εἰσήγετο τῷ Ὠριγένει τῶν θείων λόγων ἀπηκριβωμένη ἐξέτασις, ὡς καὶ τὴν Ἑβραΐδα γλῶτταν ἐκμαθεῖν. τάς τε παρὰ τοῖς Ἰουδαίοις ἐμφερομένας πρωτοτύπους αὐτοῖς Ἑβραίων στοιχείοις γραφάς, κτῆμα ἴδιον ποιήσασθαι. ἀνιχνεῦσαί τε τὰς τῶν ἑτέρων παρὰ τοὺς ἑβδομήκοντα τὰς ἱερὰς γραφὰς ἡρμηνευκότων ἐκδόσεις. καί τινας ἑτέρας παρὰ τὰς κατημαξευμένας ἑρμηνείας ἐναλλαττούσας, τὴν Ἀκύλου καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἐφευρεῖν· ἃς οὐκ οἶδ᾽ ὅθεν ἔκ τινων μυχῶν τὸν πάλαι λανθανούσας χρόνον ἀνιχνεύσας, εἰς φῶς προήγαγεν. ἐφ᾽ ὧν διὰ τὴν ἀδηλότητα, τίνος ἄρ᾽ εἶεν οὐκ εἰδώς, αὐτὸ τοῦτο μόνον ἐπεσημήνατο, ὡς ἄρα τὴν μὲν εὕροι ἐν τῇ πρὸς Ἀκτίῳ Νικοπόλει. τὴν δὲ ἐν ἑτέρῳ τόπῳ τοιῷδε. ἔν γε μὴν τοῖς Ἑξαπλοῖς τῶν Ψαλμῶν μετὰ τὰς ἐπισήμους τέσσαρας ἐκδόσεις, οὐ μόνον πέμπτην, ἀλλὰ καὶ ἕκτην καὶ ἑβδόμην παραθεὶς ἑρμηνείαν, ἐπὶ μιᾶς αὖθις σεσημείωται ὡς ἐν Ἰεριχοῖ εὑρημένης ἐν πίθῳ κατὰ τοὺς χρόνους Ἀντωνίνου τοῦ υἱοῦ Σευήρου. ταύτας δὲ ἁπάσας ἐπὶ ταὐτὸν

## Caput XVI.

C *Quantum studium Origenes in divinis Scripturis collocaverit.*

Tantam porrò curam ac diligentiam in divinis Scripturis perscrutandis adhibebat Origenes, ut Hebraïcam etiam linguam didicerit, & authenticos Scripturarum libros Hebraïcis scriptos literis, qui apud Judæos habentur, sibi comparaverit: aliorum quoque qui præter septuaginta Interpretes sacras Scripturas interpretati sunt, editiones pervestigaverit: nonnullas denique interpretationes à tritis illis & vulgatis Aquilæ scilicet ac Symmachi & Theodotionis diversas repererit. Quas quidem ille ex nescio quibus eru- (Vide Niceph. ibid.)
D tas angulis in quibus jamdudum delituerant, primus in lucem produxit. Et cùm obscurum incompertumq; haberet cujusnam essent auctoris, hoc solum de ipsis adnotavit, alteram quidem à se repertam fuisse Nicopoli juxta Actium: alteram verò in alio quodam loco. Quinetiam in Hexaplis Psalmorum exemplaribus, post insignes illas quatuor editiones cùm non quintam modò sed etiam sextam ac septimam apponeret versionem, rursus in principio unius notavit inventam illam fuisse Hierichunte in dolio, temporibus Antonini Caracallæ qui Severi filius fuit. Has igitur omnes interpretationes cùm in unum



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN